24 καλάμου εὐώδους διακοσίους πεντήκοντα 24 καὶ ἴρεως πεντακοσίους
25 σίκλους τοῦ ἁγίου καὶ ἔλαιον ἐξ ἐλαίων ιν 25 καὶ ποιήσεις αὐτὸ
ἔλαιον χρῖσμα ἅγιον, μύρον μυρεψικὸν τέχνῃ μυρεψοῦ· ἔλαιον
26 χρῖσμα ἅγιον ἔσται. 26 καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρ-
27 τυρίου καὶ τὴν κιβωτὸν τοῦ μαρτυρίου 27 καὶ τὴν λυχνίαν καὶ
28 πάντα τὰ σκεύη αὐτῆς καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος 28 καὶ
τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ πάντα αὐτοῦ τὰ σκεύη
καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὸν λουτῆρα καὶ
29 τὴν βάσιν αὐτοῦ 29 καὶ ἁγιάσεις αὐτά, καὶ ἔσται ἅγια τῶν ἁγίων·
30 πᾶς ὁ ἁπτόμενος αὐτῶν ἁγιασθήσεται. 30 καὶ Ααρων καὶ τοὺς υἱοὺς
31 αὐτοῦ χρίσεις καὶ ἁγιάσεις αὐτοὺς ἱερατεύειν μοι. 31 καὶ τοῖς υἱοῖς
Ισραηλ λαλήσεις λέγων Ἔλαιον ἄλειμμα χρίσεως ἅγιον ἔσται τοῦτο
32 ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν. 32 ἐπὶ σάρκα ἀνθρώπου οὐ χρισθήσεται,
καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς ὡσαύ-
33 τως· ἅγιόν ἐστιν καὶ ἁγίασμα ἔσται ὑμῖν. 33 ὃς ἂν ποιήσῃ ὡσαύ-
τως, καὶ ὃς ἂν δῷ ἀπ᾽ αὐτοῦ ἀλλογενεῖ, ἐξολεθρευθήσεται ἐκ τοῦ
34 λαοῦ αὐτοῦ. — 34 καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Λαβὲ σεαυτῷ
ἡδύσματα, στακτήν, ὄνυχα, χαλβάνην ἡδυσμοῦ καὶ λίβανον δια-
35 φανῆ, ἴσον ἴσῳ ἔσται· 35 καὶ ποιήσουσιν ἐν αὐτῷ θυμίαμα, μυρε-
36 ψικὸν ἔργον μυρεψοῦ, μεμιγμένον, καθαρόν, ἔργον ἅγιον. 36 καὶ
συγκόψεις ἐκ τούτων λεπτὸν καὶ θήσεις ἀπέναντι τῶν μαρτυρίων
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν· ἅγιον
37 τῶν ἁγίων ἔσται ὑμῖν. 37 θυμίαμα κατὰ τὴν σύνθεσιν ταύτην οὐ
38 ποιήσετε ὑμῖν αὐτοῖς· ἁγίασμα ἔσται ὑμῖν κυρίῳ· 38 ὃς ἂν ποιήσῃ
ὡσαύτως ὥστε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἀπολεῖται ἐκ τοῦ λαοῦ αὐτοῦ.
31 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων 2 Ἰδοὺ ἀνακέκλημαι
ἐξ ὀνόματος τὸν Βεσελεηλ τὸν τοῦ Ουριου τὸν Ωρ τῆς φυλῆς
3 Ιουδα 3 καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως
4 καὶ ἐπιστήμης ἐν παντὶ ἔργῳ 4 διανοεῖσθαι καὶ ἀρχιτεκτονῆσαι
ἐργάζεσθαι τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν καὶ τὴν
ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον τὸ νηστὸν καὶ τὴν
5 βύσσον τὴν κεκλωσμένην 5 καὶ τὰ λιθουργικὰ καὶ εἰς τὰ ἔργα τὰ
6 τεκτονικὰ τῶν ξύλων ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα. 6 καὶ ἐγὼ
ἔδωκα αὐτὸν καὶ τὸν Ελιαβ τὸν τοῦ Αχισαμαχ ἐκ φυλῆς Δαν καὶ
παντὶ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν, καὶ ποιήσουσιν πάντα, ὅσα

27 init.] pr. και παντα τα σκευη αυτης A | αυτης $1^0$] + και την σκηνην του μαρτυριου και παντα τα σκευη αυτης B† || 28 και ult. — fin. > B || 32 ποιηθησεται B || 33 αυτου ult. > A || 34 χαλβανην] pr. και A || 35 εν αυτω] αυτο A | μεμιγμ.] + συνθεσεως $A^r$ || 37 αυτοις] εαυ. A || 38 αυτου] -της B*

31 2 ουρι A | τον ult.] υιου A: cf. 35 30 || 4 αρχιτεκτονειν A | και ult. — fin. > B (και $4^0$ — fin. in *O* sub ÷) || 5 και / εις τα εργα] tr. A || 6 εδωκα] δεδωκα A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/192 UNIVERSITÄT LEIPZIG